UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXII. Quomodo iisdem temporibus Abasgi quoque Christianam fidem amplexi sunt.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

dem urbis Pontificem, quem de proditione suspectum habebat, in Achaiam deportasse, & Vigilium in ejus locum subrogasse. A

ψίαν προδοσίας ἐς σιλβέριον τὸν τῆς πόλεως ἀρχιερέα ἐσχηκώς, τοῦτον μὲν ἐς ἑλλάδα μετοικίζει. ἀρχιερέα δὲ βιγίλιον καθέστησαν.

## Cap. XX.

*Quomodo Justiniani temporibus Eruli Christianam fidem amplexi sint.*

Sub idem tempus, ut scribit Procopius, Eruli, qui jampridem Imperatoris Anastasii temporibus Danubium trajecerant, benigne excepti à Justiniano, & maximis opibus ab eodem locupletati, universi simul Christianam fidem amplexi sunt, & pristina vivendi ratione deposita, mansuetiorem cultum induerunt.

## Κεφ. κ'.

*Ὡς οἱ λεγόμενοι ἔρυλοι, ἐν τοῖς χρόνοις ἰουστινιανοῦ ἐχριστιάνισαν.*

Ὑπὸ τοῖς αὐτοῖς χρόνοις, ὡς ὁ αὐτὸς προκόπιος ἀναγράφει, ἔρυλοι ποταμὸν ἴστρον ἤδη διαβάντες ὅτε τὴν ῥωμαίων ἀρχὴν ἀναστάσιος διεκυβέρνα, B φιλοφρονηθέντες ὑπὸ ἰουστινιανοῦ χρήμασι μεγάλοις αὐτοὺς δωρησαμένου, πανσυδὶ χριστιανοὶ γεγόνασι, καὶ τὴν δίαιταν ἐπὶ τὸ ἡμερώτερον μετέβαλον.

## Cap. XXI.

*Quomodo Belisarius urbem Romam quam Gothi iterum ceperant, recuperavit.*

Narrat deinde idem Procopius reditum Belisarii Constantinopolim, & quemadmodum Vitigem simul cum manubiis quas in urbe Roma ceperat, secum adduxerit: utque Totila Romanum Imperium sibi vindicaverit, & urbs Roma sub Gothorum ditionem denuo reciderit. Quomodo etjam Belisarius, cùm iterum in Italiam venisset, Romam recuperaverit: Cumque bellum adversus Persas conflatum fuisset, ab Imperatore revocatus sit Constantinopolim.

## Κεφ. κα'.

*Ὡς πάλιν ὑπὸ γότθοις γεγονυῖαν τὴν ῥώμην, αὖθις ὁ βελισάριος ἀνεσώσατο.*

Εἶτα τὴν ἐπὶ τὸ βυζάντιον ἐπανάζευξιν βελισαρίου γράφει, ὅπως τε τὸν οὐίττιγιν ἀνήγαγε μετὰ τῶν ἐκ ῥώμης λαφύρων. τουτιλά τε τῆς ῥωμαίων ἀρχῆς τὴν παράληψιν, C καὶ ὅπως αὖθις ὑπὸ γότθους ἡ ῥώμη γέγονε, καὶ ὡς βελισάριος δὶς τὴν ἰταλίαν κατειληφὼς, αὖθις τὴν ῥώμην ἀνεσώσατο. ὅπως τε τοῦ μηδικοῦ πολέμου συστάντος, αὖθις ἐς βυζάντιον ὁ βελισάριος μετάπεμπτος ὑπὸ βασιλέως γέγονεν.

## Cap. XXII.

*Quomodo iisdem temporibus Abasgi quoque Christianam fidem amplexi sunt.*

Refert præterea idem Scriptor, Abasgos per idem tempus ad mansuetiorẽ cultum translatos, Christianam religionem suscepisse: & Eunuchum quendam Palatii, Euphratam nomine, qui natione Abasgus erat, ab Imperatore Justiniano ad eos missum esse, qui interdiceret, ne cuiquam deinceps in ea gente virilia ferro abscinderentur, neve vis inferretur naturæ. Ex his enim ut plurimum eligebantur ministri Imperialis cubiculi, quos vulgo Eunuchos vocant. Tunc etiam Justinianus, cùm Ecclesiam in honorem Deiparæ apud Abasgos ædificasset, sacerdotes illis constituit. Atque exinde Abasgi Christianæ legis doctrinam accuratissime didicerunt.

## Κεφ. κβ'.

*Ὡς καὶ ἀβασγοὶ τηνικαῦτα ἐχριστιάνισαν.*

D Ὁ αὐτὸς ἱστορεῖ, ἀβασγοὺς ἐπὶ τὸ ἡμερώτερον μεταστάντας ὑπὸ τοῖς αὐτοῖς χρόνοις τὰ χριστιανῶν ἑλέσθαι δόγματα, βασιλέα τε ἰουστινιανόν, τῶν τινα ἐκ τῆς αὐλῆς εὐνούχων, ἀβασγὸν δὲ τὸ γένος, εὐφράταν ὄνομα, πέμψαι παρ' αὐτοὺς ἀπαγορεύοντα, μηδένα τὸ λοιπὸν ἐν τούτῳ τῷ ἔθνει περὶ τὴν ἀρρενωπίαν ἀποψιλοῦσθαι σιδήρῳ, βιαζομένης τῆς φύσεως. ἐξ αὐτῶν τὰ πολλὰ οἱ τοῖς βασιλικοῖς ἐξυπηρετούμενοι κοιτῶσι καθεστήκεσαν, οὓς εὐνούχους ἡ συνήθεια καλεῖ. ὅτε καὶ ἰουστινιανὸς ἱερὸν τῆς θεοτόκου ἐν ἀβασγοῖς οἰκοδομησάμενος, ἱερέας αὐτοῖς κατεστήσατο· ὅθεν ἐς τὸ ἀκριβέστατον τὰ χριστιανῶν ἐξέμαθον δόγματα.